www.e-rara.ch

# Demosthenis et Aeschinis principum Graeciae oratorum opera

## Demosthenes

## Basileae, [1571-]1572

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-98668

Argumentum Orationis Adversus Bœotum, de dote materna

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

ἐὰν βούλωνται, καὶ ἀποκηρύξαι. ἐπέδειξα δ' ἐγὼ τὸν πατέρα, ὃς κύριος ἦν ἐκ τοῦ νόμου, τοῦτον μὲν Βοιωτὸν, ἐμὲ δὲ Μαντίθεον θέμενον. πῶς ὑμῖν ἐστιν ἄλλο τι πλὴν ἃ ἐγὼ λέγω ψηφίσασθαι; ἀλλὰ μὴν ὧν γ' ἂν μὴ ὦσι νόμοι,* ἀλλὰ γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὀμωμόκατε. ὥστ' εἰ μηδεὶς ἦν περὶ τούτων κείμενος νόμος, κἂν οὕτω δικαίως πρὸς ἐμοῦ τὴν ψῆφον ἔθεσθε. τίς γάρ ἐστιν ὑμῶν, ὅστις ταὐτὸν ὄνομα τοῖς αὑτοῦ παισὶ τέθειται δυοῖν οὖσι; τίς δ' ᾧ μήπω παῖδές εἰσι, θήσεται; οὐδεὶς δήπου. οὐκοῦν ὃ δίκαιον τῇ γνώμῃ τοῖς ὑμετέροις αὐτῶν παισὶν ὑπειλήφατε, τοῦτο καὶ περὶ ἡμῶν εὐσεβὲς γνῶναι. ὥστε καὶ κατὰ τὴν δικαιοτάτην γνώμην, καὶ κατὰ τοὺς νόμους, καὶ κατὰ τοὺς ὅρκους, * καὶ κατὰ τὴν τούτου προσομολογίαν, ἐγὼ μὲν μέτρια ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δέομαι, καὶ δίκαια ἀξιῶ· οὗτος δ' οὐ μόνον οὐ μέτρια, ἀλλ' οὐδ' εἰωθότα γίγνεσθαι.

ΥΠΟΘΕΣΙΣ ΠΡΟΣ ΒΟΙΩΤΟΝ ΥΠΕΡ προικὸς μητρῴας λόγου.

Καὶ οὗτος ὑπὸ τοῦ αὐτοῦ καὶ πρὸς τὸν αὐτὸν ὁ λόγος εἴρηται, καὶ τὰ μὲν ἄλλα πάντα ταὐτὰ, ἡ Πλαγγὼν, ὁ ὅρκος, ἡ τῶν παίδων ἀναγκαία ποίησις. ἀποθανόντος δὲ τοῦ Μαντίου, οἱ παῖδες, ὄντες τρεῖς, Μαντίθεος ὁ ἐκ τῆς νόμῳ γαμηθείσης, καὶ Βοιωτὸς, καὶ Πάμφιλος οἱ ἐκ τῆς Πλαγγόνος, ἐνέμοντο τὴν οὐσίαν. φάσκοντος δὲ τοῦ Μαντιθέου προῖκα ἑαυτῷ μητρῴαν ὀφείλεσθαι, Βοιωτὸς καὶ Πάμφιλος καὶ αὐτοὶ προικὸς ἠμφισβήτουν, ὡς καὶ τῆς Πλαγγόνος εἰσενεγκαμένης εἰς τὸν οἶκον τοῦ Μαντίου μνᾶς ἑκατόν. συνέδοξεν οὖν αὐτοῖς νείμασθαι πάντα ἐπ' ἴσης, πλὴν τῆς οἰκίας· ἵν' ὁποτέροις ἂν ἡ μήτηρ φανῇ προῖκα εἰσενεγκαμένη, τούτοις ἀπὸ τῆς οἰκίας ἀποδοθῇ τὸ ἀργύριον· καὶ πλὴν τῶν ἀνδραπόδων· ὅπως οἱ περὶ τὸν Βοιωτὸν ἐὰν ἐπιζητῶσί τι τῶν ἔνδον, ἔχωσιν ἐλέγχειν. μετὰ ταῦτα ἀντενεκάλεσαν ἀλλήλοις, ὁ μὲν Μαντίθεος, ὑπὲρ τῆς μητρῴας οὐσίας· ἐκεῖνοι δὲ, ὑπὲρ ἄλλων τινῶν. καὶ ὁ διαιτητὴς Μαντιθέου μὲν ἀπεδιαίτησε, Βοιωτοῦ δὲ κατεδιαίτησεν ἐρήμην. λαγχάνει δὲ Μαντίθεος καὶ εἰς τὸ δικαστήριον αὐτῷ τὴν αὐτὴν δίκην, ἀπαιτῶν τὴν προῖκα.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΒΟΙΩΤΟΝ ΥΠΕΡ προικὸς μητρῴας λόγος.

Πάντων ἐστὶν ἀνιαρώτατον, ὦ ἄνδρες δικασταὶ, ὅταν τις ὀνόματι μὲν ἀδελφὸς προσαγορευθῇ τινῶν, τῷ δ' ἔργῳ ἐχθροὺς ἔχῃ τούτους, καὶ ἀναγκάζηται πολλὰ καὶ δεινὰ παθὼν ὑπ' αὐτῶν, εἰσιέναι εἰς δικαστήριον· ὃ νῦν ἐμοὶ συμβέβηκεν. οὐ γὰρ μόνον ἀτύχημά μοι ἐξ ἀρχῆς ἐγένετο, διότι Πλαγγὼν ἡ τούτων μήτηρ ἐξαπατήσασα τὸν πατέρα μου καὶ ἐπιορκήσασα φανερῶς ἠνάγκασεν αὐτὸν * ὑπομεῖναι τούτους ποιήσασθαι, καὶ διὰ τοῦτο τὰ δύο μέρη τῶν πατρῴων ἀπεστερήθην· ἀλλὰ πρὸς τούτοις ἐξελήλαμαι μὲν ἐκ τῆς πατρῴας οἰκίας ὑπὸ τούτων, ἐν ᾗ καὶ ἐγενόμην καὶ ἐτράφην, καὶ εἰς ἣν οὐχ ὁ πατὴρ αὐτοὺς, ἀλλ' ἐγὼ, τελευτήσαντος ἐκείνου παρεδεξάμην. ἀποστεροῦμαι δὲ τὴν προῖκα τῆς ἐμαυτοῦ μητρὸς, περὶ ἧς νυνὶ δικάζομαι· αὐτὸς μὲν τούτοις δίκας, ὑπὲρ ὧν ἐνεκάλουν ἁπάντων δεδωκὼς, πλὴν εἴ τινα νῦν ἕνεκα τῆς δίκης ταύτης ἀντειλήχασί μοι συκοφαντοῦντες, ὡς ὑμῖν ἔσται καταφανές. παρὰ δὲ τούτων ἐν ἕνδεκα ἔτεσιν οὐ δυνάμενος τυχεῖν τῶν μετρίων, ἀλλὰ νῦν εἰς ὑμᾶς καταπεφευγώς. δέομαι οὖν ἁπάντων ὑμῶν, ὦ ἄνδρες δικασταὶ, μετ' εὐνοίας τέ μου ἀκοῦσαι, οὕτως ὅπως ἂν δύνωμαι,

μαι,

*& abdicandi, egóque ostendi, patrem, cui lege potestas ea dabatur, isti Bœoti, mihi verò Mantithei fecisse nomē: qui vos potestis alia, quàm quæ ego dico, pronunciare? Præterea, quarum rerum nullæ extent leges, de ijs vos ex æquo & bono suffragia laturos iurastis. Proinde, si nulla esset hac de re lata lex: etiam tum iure pro me sententiam ferretis. Quis enim vestrûm est, qui duobus filijs, idem nomen imposuerit? Quis verò, cui nondum liberi sunt, imponet? Nemo profectò. Quod igitur apud vos vestris liberis esse æquum statuitis, idem etiam de nobis pronunciare fuerit religiosum. Quare ex æquo & bono, ex legibus, è iureiurando, ex istius ipsius confessione: ego quidem æqua à vobis oro, & iusta peto: iste verò non solum non æqua, sed etiam inusitata.*

*ARGVMENTVM ORATIONIS ADuersus Bœotum, de dote materna.*

Etiam hæc & ab eodem, & contra eundem dicta est Oratio. Ac cætera quidem omnia sunt eadem: Plango, iusiurandum, filiorum coacta adoptio. Defuncto autem Mantia, filij eius tres, Mantitheus è legitima vxore susceptus, & Bœotus ac Pamphilus Plangonis filij, hæreditatem diuiserunt. Asserente autem Mantitheo, dotem sibi maternam deberi: Bœotus ac Pamphilus, & ipsi de dote contendunt, quasi Plango etiam in Mantiæ familiam centum minas contulisset. Conuenit igitur inter eos, ex æquo omnia partienda esse, præter ædes: vt vtri parti mater attulisse dotem probaretur, ei de ædibus illa pecunia redderetur: & præter mancipia: vt Bœotus cum fratre, si quid domesticum requirerent, haberent quo coarguerent. Post hæc se mutuò accusant, Mantitheus illos de maternis facultatibus, illi hunc de alijs quibusdam rebus. Ac arbiter Mantitheum absoluit, Bœotum condemnat absentem. Quem eadem actione Mantitheus in iudicium vocat, dotem maternam repetens.

# DEMOSTHENIS IN BOEOTVM DE DOTE materna Oratio, Hieronymo Vuolfio interprete.

*OMNIVM molestissimum est, Iudices, cum quis nomine frater eorum appellatur, quos ipsa re hostes habet: & multis magnisque affectus ab eis iniurijs, in iudicium venire cogitur: id quod mihi nunc vsuuenit. Neque enim ea solum ab initio calamitas mihi accidit, vt Plango, istorum mater, patrem meum manifesto periurio deceptum ad istos adoptandos adegerit, egóque propterea duabus patrimonij partibus sim fraudatus: sed præter hæc, etiam paternis ædibus ab istis exactus, in quibus & natus sum, & educatus: & in quas non pater eos, sed ego, defuncto illo, recepi: fraudor etiam dote materna, de qua nunc ago: cum ego eis de omnibus quæ querebantur, satisfecerim: præterquam, si qua nunc, propter iudicium hoc resortitione instituta, per calumniam postulant: vt vobis declarabitur. Ab istis autem cùm vndecim annis nihil æqui potuerim impetrare: nunc ad vos confugio, atque omnes vos oro, Iudices, vt me benignè, sic vt potero dicentem, au-* Querela de fratris iniurijs.